This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

THE ANABASIS OF XENOPHON

BOOK III.

WITH THE MODERN GREEK VERSION OF CONSTANTINE BARDALACHOS, AND A PREFATORY NOTE

BY R. C. JEBB, M.A., LL.D.,

Professor of Greek in the University of Glasgow.

600093270R

THE ANABASIS

OF

XENOPHON.

BOOK III.

WITH THE MODERN GREEK VERSION OF CONSTANTINE BARDALACHOS,

And a Prefatory Note

BY R. C. JEBB, M.A., LL.D.,
PROFESSOR OF GREEK IN THE UNIVERSITY OF GLASGOW.

PRINTED FOR THE USE OF THE GREEK CLASSES IN THE UNIVERSITY.

BIBLIOTHECA
NOV 1880
BODLEIANA

GLASGOW:
JAMES MACLEHOSE, ST VINCENT STREET,
Publisher to the University.
1879

270. k. 74.

Cambridge:
PRINTED BY C. J. CLAY, M.A.
AT THE UNIVERSITY PRESS.

Prefatory Note.

THE Modern Greek version printed here is that of Constantine Bardalachos [1755—1830], for many years an eminent teacher in the Greek schools of Bucharest, Chios, and Odessa. His translation of the Anabasis and the Cyropaedia, made at Odessa during the last years of his life, had a singular fate. At the end of the War of Independence Bardalachos left Odessa for Greece, purposing to spend the remainder of his days in the newly liberated part of his country. About the end of July, 1830, he embarked at Syra for Aegina. Through the carelessness of a pilot, the vessel was wrecked in fair weather off Cythnos (or Thermia, as it is commonly called now—one of the Cyclades between Seriphós and Ceos), and the old man was among those who were drowned. Some of his papers, the translation of Xenophon among the rest, were afterwards recovered from the wreck; and fifteen years later (1845) M. Ioannes Doumas, a Greek resident at Odessa, had

the translation published at his own cost, for gratuitous distribution to the Hellenic schools of Greece and Turkey. I owe a copy of the work (printed at Athens and now, I believe, rare) to the kindness of my friend Prof. Michael Constantinides, who also did me the favour of reading these sheets during their passage through the press. The Greek of Bardalachos is substantially the Greek of Koraes—an interesting letter from whom (June, 1814) to the future translator, urging him to undertake this very task, is given by M. Doumas.

The literary language has made fresh progress during the last forty years in the path of return to that normal classicalism of which, for ordinary prose, Xenophon may be regarded as the canon. M. Constantinides purposely left the translation of Bardalachos as it stood, except in the case of a few words or phrases which would now jar too decidedly on an educated Greek reader. But, although the literary form required to be amended in a few details of this nature, the language may be regarded as on the whole fairly representing the ordinary idiom of the present day.

These pages are intended primarily for the use of my Class in the University of Glasgow; but, in case they should come into other hands, I may state in a few words the object of this slight experiment.

It is often said that Greek ought to be taught as a living language. If this means that classical Greek could be taught in such a manner that, by the fact of learning it, the student should at the same time be enabled to write and to converse in Modern Greek, I can only say that, for my part, I should regard with great interest any teacher who accomplished so remarkable a feat. There is another sense, however, in which the statement is intelligible. The modern language is the old language with certain differences (1) of grammar, (2) of vocabulary. The differences of vocabulary can be well learned only by practice in reading, writing and speaking Modern Greek. But the differences of grammar, and a few striking differences of vocabulary, can be pointed out to a student of Old Greek as he goes along. By this method he will not, indeed, learn Modern Greek; but he will be put in the way of learning it, if he desires to do so. And, at the same time, his interest in classical Greek will be strengthened at every step,—not only or chiefly by occasional light on special points, but still more by the sense of a true continuity in the history of the language.

R. C. JEBB.

THE UNIVERSITY, GLASGOW,
November, 1879.

A few elementary points of difference between Old and Modern Greek.

I. *Infinitive.* (1) Old, *βούλομαι φαγεῖν*: New, *βούλομαι νὰ* [for *ἵνα*] *φάγω*. (2) Old, *λέγουσι τὸν Κῦρον ἀπελθεῖν*: New, *λέγουσιν ὅτι ὁ Κῦρος ἀπῆλθε*. (3) Old, *τὸ λέγειν πολλὰ οὐ καλόν ἐστιν*: New, *τὸ λέγειν* (*or τὸ νὰ λέγῃ τις*) *πολλὰ δὲν εἶναι καλόν*.

II. *Future.* (1) Old, *αὔριον γράψω ὅλην τὴν ἡμέραν*: New, *αὔριον θὰ* [= *θέλω ἵνα*] *γράφω* (*present* subj.) *or θέλω γράφει* (short for *γράφειν*) *ὅλην τὴν ἡμέραν*. (2) Old, *αὔριον γράψω μίαν ἐπιστολήν*: New, *αὔριον θὰ γράψω* (*aorist* subj.) or *θέλω γράψει* (for *γράψαι*, better written *γράψῃ*) *μίαν ἐπιστολήν*.

III. *Perfect, Pluperfect.* Old, *γέγραφα—ἐγεγράφειν*: New, *ἔχω γράψει—εἶχον* (or *εἶχα*) *γράψει*.

IV. *Imperative.* (1) Old, (*μὴ*) *γράφε*, (*μὴ*) *γραφέτω*: New, (*μὴ*) *γράφε*, *ἂς* [= *ἄφες*] (*μὴ*) *γράφῃ*: *i.e. go on* writing, do *not go on* writing. (2) Old, *γράψον, μὴ γράψῃς*, (*μὴ*) *γράψῃ*: New, *γράψον, μὴ γράψῃς, ἂς* (*μὴ*) *γράψῃ*. In Modern, as in Old, Greek *μὴ γράφῃς* is a solecism, though sometimes heard in speaking.

V. *Conditional Sentences.* (1) Old, εἰ ἐδυνήθην, ἔλυσα ἄν: New, ἐὰν (or ἂν) εἶχον δύναμιν, ἤθελον λύσει. (2) Old, εἰ ἐδυνάμην, ἔλυον ἄν: New, ἐὰν ἐδυνάμην, θὰ ἔλυον. (3) Old, εἰ δυναίμην, λύοιμι ἄν. New, having no optat. mood, expresses this by (2): less correctly by (1), but see *Anab.* III. 1 § 2 ad fin. Nor does it always distinguish precisely between (1) and (2).

VI. *Pronouns.* Old, ὁ πατὴρ ἡμῶν: New, ὁ πατήρ μας: so σας = ὑμῶν. Old, τίς ἡμᾶς (ὑμᾶς) προσκαλεῖ; New, τίς μᾶς (σᾶς) προσκαλεῖ; Old, οὗτος ὁ ἄνθρωπος, *this man*, αὐτὸς ὁ ἄνθρωπος, *the man himself:* New, αὐτὸς ὁ ἄνθρωπος = either *this man* or *the man himself;* but, for the latter sense, there is a stronger stress on αὐτός. For αὐτός, however, ὁ ἴδιος is oft. used: e.g. Old, αὐτὸς ἐγώ: New, ἐγὼ ὁ ἴδιος. In New, *this, these,* usu. αὐτός, αὐτή, αὐτό, not οὗτος, etc.: ἐκεῖνος = *that,* as in Old: but ὅδε is not used. *It, him, her, them,* = τό, τόν, τήν, τά, τούς, τάς: usu. immediately before the verb. *Its, his, her, their,* του, της, των (enclitic).

VII. *Prepositions.* In New ἀπό takes accus. as well as gen. εἰς with accus. in New often = ἐν with dat. in Old, e.g. 'in Greece', εἰς τὴν Ἑλλάδα (or ἐν Ἑλλάδι).—διά with acc. oft. = Old dat. of person affected, e.g. Old, χρήσιμον ἡμῖν: New, χρήσιμον διὰ μᾶς. Old, καλὸς ὁ καιρὸς πρὸς (or ἐπὶ or εἰς) τὸ ἐργάζεσθαι ὑμᾶς: New, καλὸς ὁ καιρὸς διὰ νὰ ἐργάζεταί τις.

VIII. The dative case is not commonly used in the *spoken* language: *e.g.* Old, δός αὐτῷ: New, δός εἰς αὐτόν, or colloquially δός του.

THE ANABASIS OF XENOPHON.

BOOK III.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΑΝΑΒΑΣΙΣ.

Γ'.

ΚΕΦ. Α'.

1. Ὅσα μὲν δὴ ἐν τῇ ἀναβάσει τῇ μετὰ Κύρου οἱ Ἕλληνες ἔπραξαν μέχρι τῆς μάχης, καὶ ὅσα ἐπεὶ Κῦρος ἐτελεύτησεν ἐγένετο ἀπιόντων τῶν Ἑλλήνων σὺν Τισσαφέρνει ἐν ταῖς σπονδαῖς, ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται.

2. Ἐπεὶ δὲ οἵ τε στρατηγοὶ συνειλημμένοι ἦσαν καὶ τῶν λοχαγῶν καὶ τῶν στρατιωτῶν οἱ συνεπόμενοι ἀπολώλεσαν, ἐν πολλῇ δὴ ἀπορίᾳ ἦσαν οἱ Ἕλληνες, ἐνθυμούμενοι μὲν ὅτι ἐπὶ ταῖς βασιλέως θύραις ἦσαν, κύκλῳ δὲ αὐτοῖς πάντη πολλὰ καὶ ἔθνη καὶ πόλεις πολέμιαι ἦσαν, ἀγορὰν δὲ οὐδεὶς ἔτι παρέξειν ἔμελλεν, ἀπεῖχον δὲ τῆς Ἑλλάδος οὐ μεῖον ἢ μύρια στάδια, ἡγεμὼν δ' οὐδεὶς τῆς ὁδοῦ ἦν, ποταμοὶ δὲ διεῖργον ἀδιάβατοι ἐν μέσῳ τῆς οἴκαδε ὁδοῦ, προὐδεδώκεσαν δὲ αὐτοὺς καὶ οἱ σὺν Κύρῳ ἀναβάντες βάρβαροι, μόνοι δὲ καταλελειμμένοι ἦσαν οὐδὲ ἱππέα οὐδένα σύμμαχον ἔχοντες· ὥστ' εὔδηλον ἦν ὅτι νικῶντες μὲν οὐδ' ἂν ἕνα κατακάνοιεν, ἡττηθέντων δὲ αὐτῶν οὐδεὶς ἂν λειφθείη.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΑΝΑΒΑΣΙΣ.

ΒΙΒΛ. Γ'.

ΚΕΦ. Α'.

1. Ὅσα λοιπὸν εἰς τὴν μὲ τὸν Κῦρον ἀνάβασιν ἔπραξαν οἱ Ἕλληνες μέχρι τῆς μάχης καὶ ὅσα, μετὰ τὸν θάνατον τοῦ Κύρου, ἠκολούθησαν ἐν καιρῷ εἰρήνης, ὅτε ἐπέστρεφον οἱ Ἕλληνες μὲ τὸν Τισσαφέρνην, εἰς τὸ προηγούμενον βιβλίον τὰ ἐφανερώσαμεν.

2. Ἀφοῦ δὲ οἱ στρατηγοὶ ἐπιάσθησαν, καὶ, ὅσοι ἀπὸ τοὺς λοχαγοὺς καὶ στρατιώτας τοὺς εἶχον ἀκολουθήσει, ἐφονεύθησαν, εἰς μεγάλην ἀπορίαν ἦσαν οἱ Ἕλληνες, διαλογιζόμενοι μὲν, ὅτι πλησίον τῆς βασιλευούσης εὑρίσκοντο, πανταχοῦ δὲ ὁλόγυρά των ἦσαν πολλὰ καὶ ἔθνη καὶ πόλεις ἐχθρικαὶ, τὰ ἀναγκαῖα δὲ οὐδεὶς εἰς τὸ ἑξῆς ἔμελλε νὰ τοὺς προμηθεύσῃ ν' ἀγοράζωσιν· ἀπεῖχον δὲ τῆς Ἑλλάδος περισσότερον ἀπὸ δέκα χιλιάδας στάδια, ὁδηγὸν δὲ κανένα τῆς ὁδοῦ δὲν εἶχον, τοὺς ἐμπόδιζον δὲ ποταμοὶ ἀδιάβατοι εἰς τὸ μέσον τῆς πρὸς τὴν πατρίδα ὁδοιπορίας των, τοὺς εἶχον δὲ προδώσει καὶ οἱ ἀναβάντες μὲ τὸν Κῦρον βάρβαροι, μόνοι δὲ εἶχον μείνει οἱ Ἕλληνες καὶ χωρὶς ἱππέα κανένα σύμμαχον· ὥστε φανερὸν ἦτο, ὅτι, νικῶντες μὲν, οὐδὲ ἕνα ἐδύναντο νὰ φονεύσωσι, νικηθέντες δὲ, κανεὶς δὲν ἤθελε μείνει ἐξ αὐτῶν.

3. Ταῦτα ἐννοούμενοι καὶ ἀθύμως ἔχοντες, ὀλίγοι μὲν αὐτῶν εἰς τὴν ἑσπέραν σίτου ἐγεύσαντο, ὀλίγοι δὲ πῦρ ἀνέκαυσαν, ἐπὶ δὲ τὰ ὅπλα πολλοὶ οὐκ ἦλθον ταύτην τὴν νύκτα, ἀνεπαύοντο δὲ ὅπου ἐτύγχανεν ἕκαστος, οὐ δυνάμενοι καθεύδειν ὑπὸ λύπης, καὶ πόθου πατρίδων, γονέων, γυναικῶν, παίδων, οὓς οὔποτ' ἐνόμιζον ἔτι ὄψεσθαι. Οὕτω μὲν δὴ διακείμενοι πάντες ἀνεπαύοντο.

4. Ἦν δέ τις ἐν τῇ στρατιᾷ Ξενοφῶν Ἀθηναῖος, ὃς οὔτε στρατηγὸς οὔτε λοχαγὸς οὔτε στρατιώτης ὢν συνηκολούθει, ἀλλὰ Πρόξενος αὐτὸν μετεπέμψατο οἴκοθεν, ξένος ὢν ἀρχαῖος· ὑπισχνεῖτο δὲ αὐτόν, εἰ ἔλθοι, φίλον Κύρῳ ποιήσειν· ὃν αὐτὸς ἔφη κρείττω ἑαυτῷ νομίζειν τῆς πατρίδος.

5. Ὁ μέντοι Ξενοφῶν ἀναγνοὺς τὴν ἐπιστολὴν ἀνακοινοῦται Σωκράτει τῷ Ἀθηναίῳ περὶ τῆς πορείας. Καὶ ὁ Σωκράτης ὑποπτεύσας μή τι πρὸς τῆς πόλεως ἐπαίτιον εἴη Κύρῳ φίλον γενέσθαι, ὅτι ἐδόκει ὁ Κῦρος προθύμως τοῖς Λακεδαιμονίοις ἐπὶ τὰς Ἀθήνας συμπολεμῆσαι, συμβουλεύει τῷ Ξενοφῶντι ἐλθόντα εἰς Δελφοὺς ἀνακοινῶσαι τῷ θεῷ περὶ τῆς πορείας.

6. Ἐλθὼν δ' ὁ Ξενοφῶν ἐπήρετο τὸν Ἀπόλλω τίνι ἂν θεῶν θύων καὶ εὐχόμενος κάλλιστ' ἂν καὶ ἄριστα ἔλθοι τὴν ὁδὸν ἣν ἐπινοεῖ, καὶ καλῶς πράξας σωθείη. Καὶ ἀνεῖλεν αὐτῷ ὁ Ἀπόλλων θεοῖς οἷς ἔδει θύειν.

7. Ἐπεὶ δὲ πάλιν ἦλθε, λέγει τὴν μαντείαν τῷ Σωκράτει. Ὁ δ' ἀκούσας ᾐτιᾶτο αὐτὸν ὅτι οὐ τοῦτο πρῶτον ἠρώτα, πότερον λῷον εἴη αὐτῷ πορεύεσθαι ἢ μένειν, ἀλλ' αὐτὸς κρίνας ἰτέον εἶναι τοῦτ' ἐπυνθάνετο, ὅπως ἂν κάλλιστα πορευθείη. Ἐπεὶ μέντοι οὕτως ἤρου, ταῦτ', ἔφη, χρὴ ποιεῖν ὅσα ὁ θεὸς ἐκέλευσεν.

3. Ταῦτα διαλογιζόμενοι καὶ εἰς λύπην εὑρισκόμενοι, ὀλίγοι ἔφαγον τὴν ἑσπέραν, καὶ ὀλίγοι ἤναψαν φωτίαν, καὶ πολλοὶ δὲν ἦλθον νὰ φυλάξωσιν ἐκείνην τὴν νύκτα, ἀλλ' ἀνεπαύοντο καθεὶς ὅπου ἔτυχε, μὴ δυνάμενοι νὰ κοιμηθῶσιν ἀπὸ τὴν λύπην, καὶ τὸν πόθον πατρίδων, γονέων, γυναικῶν, τέκνων, τὰ ὁποῖα ἐνόμιζον, ὅτι οὐδέποτε πλέον θὰ ἴδωσιν. Εἰς τοιαύτην λοιπὸν κατάστασιν εὑρισκόμενοι πάντες ἀνεπαύοντο.

4. Ἦτο δέ τις εἰς τὸν στρατὸν ΞΕΝΟΦΩΝ ΑΘΗΝΑΙΟΣ, ὅστις, οὔτε στρατηγὸς, οὔτε λοχαγὸς, οὔτε στρατιώτης ὤν, συνηκολούθει· ἀλλ' ὁ Πρόξενος τὸν προσεκάλεσεν ἀπὸ τὰς Ἀθήνας, διότι ἦτο παλαιός του φίλος· τὸν ὑπέσχετο δὲ, ἐὰν ἔλθῃ, νὰ τὸν κάμῃ φίλον τοῦ Κύρου, τὸν ὁποῖον αὐτὸς ἔλεγεν, ὅτι νομίζει διὰ τὸν ἑαυτόν του ὠφελιμώτερον τῆς πατρίδος.

5. Ὁ Ξενοφῶν λοιπὸν ἀναγνώσας τὴν ἐπιστολὴν, ἐκοινοποίησε πρὸς τὸν Σωκράτην τὸν Ἀθηναῖον τὸν σκοπὸν τῆς ὁδοιπορίας του. Καὶ ὁ Σωκράτης ὑποπτεύσας, μήποτε προσκρούσῃ εἰς τοὺς Ἀθηναίους, διότι γίνεται τοῦ Κύρου φίλος, ἐπειδὴ φανερὰ ὁ Κῦρος ἐβοήθησε προθύμως τοὺς Λακεδαιμονίους εἰς τὸν κατὰ τῶν Ἀθηναίων πόλεμον, συμβουλεύει τὸν Ξενοφῶντα, νὰ ὑπάγῃ εἰς τοὺς Δελφοὺς διὰ νὰ φανερώσῃ εἰς τὸν θεὸν τὸν περὶ τῆς ὁδοιπορίας του σκοπόν.

6. Ἐλθὼν δὲ ὁ Ξενοφῶν ἠρώτησε τὸν Ἀπόλλωνα, "Εἰς ποῖον θεὸν θυσιάζων καὶ προσευχόμενος κάλλιστα καὶ ἄριστα ἤθελε κάμει τὴν ὁδοιπορίαν, τὴν ὁποίαν μελετᾷ, καὶ καλῶς πράξας ἤθελε σωθῆ. Καὶ ὁ Ἀπόλλων τὸν εἶπεν, εἰς ποίους θεοὺς ἔπρεπε νὰ θυσιάσῃ.

7. Ἀφοῦ δὲ ἐπανῆλθεν, διηγήθη τὸν χρησμὸν πρὸς τὸν Σωκράτην. Ἐκεῖνος δὲ ἀκούσας τὸν ἐμέμφθη, διότι δὲν ἠρώτησε τοῦτο πρῶτον, Ποῖον εἶναι τὸ καλλίτερον, νὰ ὑπάγῃ, ἢ νὰ μείνῃ; ἀλλ' ἀποφασίσας ὁ ἴδιος, ὅτι πρέπει νὰ ὑπάγῃ, ἠρώτησε τοῦτο, Πῶς ἠδύνατο νὰ ὑπάγῃ κάλλιστα; "Ἐπειδὴ ὅμως οὕτως ἠρώτησες, εἶπε, ταῦτα πρέπει νὰ κάμῃς, ὅσα σε προσέταξεν ὁ θεός."

8. Ὁ μὲν δὴ Ξενοφῶν οὕτω θυσάμενος οἷς ἀνεῖλεν ὁ θεὸς ἐξέπλει, καὶ καταλαμβάνει ἐν Σάρδεσι Πρόξενον καὶ Κῦρον μέλλοντας ἤδη ὁρμᾶν τὴν ἄνω ὁδόν· καὶ συνεστάθη Κύρῳ.

9. Προθυμουμένου δὲ τοῦ Προξένου καὶ ὁ Κῦρος συμπροὐθυμεῖτο μεῖναι αὐτόν· εἶπε δὲ ὅτι, ἐπειδὰν τάχιστα ἡ στρατεία λήξῃ, εὐθὺς ἀποπέμψειν αὐτόν. Ἐλέγετο δὲ ὁ στόλος εἶναι εἰς Πεισίδας.

10. Ἐστρατεύετο μὲν δὴ οὕτως ἐξαπατηθείς, οὐχ ὑπὸ τοῦ Προξένου· οὐ γὰρ ᾔδει τὴν ἐπὶ βασιλέα ὁρμήν, οὐδ' ἄλλος οὐδεὶς τῶν Ἑλλήνων πλὴν Κλεάρχου· ἐπεὶ μέντοι εἰς Κιλικίαν ἦλθον, σαφὲς πᾶσιν ἤδη ἐδόκει εἶναι ὅτι ὁ στόλος εἴη ἐπὶ βασιλέα. Φοβούμενοι δὲ τὴν ὁδὸν καὶ ἄκοντες ὅμως οἱ πολλοὶ δι' αἰσχύνην καὶ ἀλλήλων καὶ Κύρου συνηκολούθησαν· ὧν εἷς καὶ Ξενοφῶν ἦν.

11. Ἐπεὶ δὲ ἀπορία ἦν, ἐλυπεῖτο μὲν σὺν τοῖς ἄλλοις καὶ οὐκ ἠδύνατο καθεύδειν· μικρὸν δ' ὕπνου λαχὼν εἶδεν ὄναρ. Ἔδοξεν αὐτῷ βροντῆς γενομένης σκηπτὸς πεσεῖν εἰς τὴν πατρῴαν οἰκίαν, καὶ ἐκ τούτου λάμπεσθαι πᾶσαν.

12. Περίφοβος δ' εὐθὺς ἀνηγέρθη, καὶ τὸ ὄναρ πῇ μὲν ἔκρινεν ἀγαθόν, ὅτι ἐν πόνοις ὢν καὶ κινδύνοις φῶς μέγα ἐκ Διὸς ἰδεῖν ἔδοξε· πῇ δὲ καὶ ἐφοβεῖτο, ὅτι ἀπὸ Διὸς μὲν βασιλέως τὸ ὄναρ ἐδόκει αὐτῷ εἶναι, κύκλῳ δὲ ἐδόκει λάμπεσθαι τὸ πῦρ, μὴ οὐ δύναιτο ἐκ τῆς χώρας ἐξελθεῖν τῆς βασιλέως, ἀλλ' εἴργοιτο πάντοθεν ὑπό τινων ἀποριῶν.

13. Ὁποῖόν τι μὲν δή ἐστι τὸ τοιοῦτον ὄναρ ἰδεῖν ἔξεστι σκοπεῖν ἐκ τῶν συμβάντων μετὰ τὸ ὄναρ. Γίνεται γὰρ τάδε· εὐθὺς ἐπειδὴ ἀνηγέρθη, πρῶτον μὲν ἔννοια

8. Οὕτω λοιπὸν θυσιάσας ὁ Ξενοφῶν, εἰς τοὺς ὁποίους θεοὺς τὸν εἶπεν ὁ Ἀπόλλων, ἀπέπλευσε καὶ προφθάνει εἰς τὰς Σάρδεις τὸν Πρόξενον καὶ τὸν Κῦρον, μέλλοντας ἤδη νὰ κινήσωσι διὰ τὸν ἐπάνω δρόμον· καὶ συνεστήθη πρὸς τὸν Κῦρον.

9. Ἐπειδὴ δὲ εἶχε προθυμίαν ὁ Πρόξενος, συνεπροθυμεῖτο καὶ ὁ Κῦρος, νὰ μείνῃ ὁ Ξενοφῶν· εἶπε δὲ ὁ Κῦρος, ὅτι, εὐθὺς ὅταν τελειώσῃ ἡ ἐκστρατεία, θέλει τὸν στείλει ὀπίσω. Ἐλέγετο δὲ, ὅτι ἡ ἐκστρατεία ἦτο κατὰ τῶν Πεισιδῶν.

10. Ὁ Ξενοφῶν λοιπὸν ἠνώθη μὲ τὸ στράτευμα, τοιουτοτρόπως ἀπατηθεὶς οὐχὶ ὑπὸ τοῦ Προξένου, διότι, οὐτ' ἐκεῖνος ἤξευρεν, ὅτι ἡ ἐκστρατεία ἦτο κατὰ τοῦ βασιλέως, οὐδ' ἄλλος οὐδεὶς τῶν Ἑλλήνων, πλὴν τοῦ Κλεάρχου· ὅτε ὅμως ἔφθασαν εἰς τὴν Κιλικίαν, ὅλοι τότε ἐνόησαν, ὅτι ἡ ἐκστρατεία ἦτο κατὰ τοῦ βασιλέως. Φοβούμενοι δὲ τὴν ὁδὸν καὶ μὴ θέλοντες, οἱ πλειότεροι ὅμως αἰσχυνόμενοι καὶ ἀλλήλους, καὶ τὸν Κῦρον συνηκολούθησαν· ἐκ τούτων εἷς ἦτο καὶ ὁ Ξενοφῶν.

11. Ἐπειδὴ δὲ ἦσαν εἰς ἀπορίαν οἱ Ἕλληνες διὰ τὸν θάνατον τῶν στρατηγῶν, ἐλυπεῖτο μὲν καὶ αὐτὸς μετὰ τῶν ἄλλων, καὶ δὲν ἠδύνατο ν' ἀποκοιμηθῇ· μόλις δὲ τὸν ἥρπαξεν ὁ ὕπνος, καὶ βλέπει τοιοῦτον ὄνειρον. Τῷ ἐφάνη, ὅτι ἠκούσθη βροντὴ, κ' ἔπεσε κεραυνὸς εἰς τὴν πατρικήν του οἰκίαν, καὶ ὅτι ἐκ τούτου ὅλη ἔλαμπεν.

12. Ὅλος δὲ ἔντρομος εὐθὺς ἐξύπνησε, καὶ ἔκρινε τὸ ὄνειρον ἀφ' ἑνὸς μὲν καλὸν, διότι, εἰς ταλαιπωρίας καὶ κινδύνους εὑρισκόμενος, πολὺ φῶς εἶδεν ἀπὸ τὸν Δία· ἀφ' ἑτέρου δὲ ἐφοβεῖτο, διότι ἀπὸ τὸν Δία τὸν βασιλέα τῷ ἐφαίνετο τὸ ὄνειρον, καὶ τὸ πῦρ ἔλαμπεν ὁλόγυρά του, μήπως δὲν εἰμπορέσῃ ἀπὸ τὸν τόπον τοῦ βασιλέως νὰ ἐξέλθῃ, ἀλλ' ἐμποδισθῇ πανταχόθεν ἀπό τινας δυσκολίας.

13. Τὶ ἐσήμαινε λοιπὸν τὸ τοιοῦτον ονειρον, εἰμποροῦμεν νὰ συμπεράνωμεν ἐκ τῶν συμβάντων μετὰ τὸ ὄνειρον. Διότι ἀμέσως ἠκολούθησαν ταῦτα· εὐθὺς ἀφοῦ ἐσηκώθη, πρῶτον μὲν τῷ ἦλθε

αὐτῷ ἐμπίπτει· Τί κατάκειμαι; ἡ δὲ νὺξ προβαίνει· ἅμα δὲ τῇ ἡμέρᾳ εἰκὸς τοὺς πολεμίους ἥξειν. Εἰ δὲ γενησόμεθα ἐπὶ βασιλεῖ, τί ἐμποδὼν μὴ οὐχὶ πάντα μὲν τὰ χαλεπώτατα ἐπιδόντας, πάντα δὲ τὰ δεινότατα παθόντας, ὑβριζομένους ἀποθανεῖν;

14. Ὅπως δ' ἀμυνούμεθα οὐδεὶς παρασκευάζεται οὐδὲ ἐπιμελεῖται, ἀλλὰ κατακείμεθα, ὥσπερ ἐξὸν ἡσυχίαν ἄγειν. Ἐγὼ οὖν τὸν ἐκ ποίας πόλεως στρατηγὸν προσδοκῶ ταῦτα πράξειν; ποίαν δ' ἡλικίαν ἐμαυτῷ ἐλθεῖν ἀναμένω; οὐ γὰρ ἔγωγ' ἔτι πρεσβύτερος ἔσομαι, ἐὰν τήμερον προδῶ ἐμαυτὸν τοῖς πολεμίοις.

15. Ἐκ τούτου ἀνίσταται καὶ συγκαλεῖ τοὺς Προξένου πρῶτον λοχαγούς. Ἐπεὶ δὲ συνῆλθον, ἔλεξεν· Ἐγώ, ὦ ἄνδρες λοχαγοί, οὔτε καθεύδειν δύναμαι, ὥσπερ, οἶμαι, οὐδ' ὑμεῖς, οὔτε κατακεῖσθαι ἔτι, ὁρῶν ἐν οἵοις ἐσμέν.

16. Οἱ μὲν γὰρ δὴ πολέμιοι δῆλον ὅτι οὐ πρότερον πρὸς ἡμᾶς τὸν πόλεμον ἐξέφηναν πρὶν ἐνόμισαν καλῶς τὰ ἑαυτῶν παρεσκευάσθαι· ἡμῶν δ' οὐδεὶς οὐδὲν ἀντεπιμελεῖται ὅπως ὡς κάλλιστα ἀγωνιούμεθα.

17. Καὶ μὴν εἰ ὑφησόμεθα καὶ ἐπὶ βασιλεῖ γενησόμεθα, τί οἰόμεθα πείσεσθαι; ὃς καὶ τοῦ ὁμομητρίου καὶ τοῦ ὁμοπατρίου ἀδελφοῦ καὶ τεθνηκότος ἤδη ἀποτεμὼν τὴν κεφαλὴν καὶ τὴν χεῖρα ἀνεσταύρωσεν· ἡμᾶς δέ, οἷς κηδεμὼν μὲν οὐδεὶς πάρεστιν, ἐστρατεύσαμεν δὲ ἐπ' αὐτὸν ὡς δοῦλον ἀντὶ βασιλέως ποιήσοντες καὶ ἀποκτενοῦντες, εἰ δυναίμεθα, τί ἂν οἰόμεθα παθεῖν;

18. Ἆρ' οὐκ ἂν ἐπὶ πᾶν ἔλθοι, ὡς ἡμᾶς τὰ ἔσχατα αἰκισάμενος πᾶσιν ἀνθρώποις φόβον παράσχοι τοῦ μὴ

τοιοῦτος λογισμός. "Τί κάθημαι; ἡ δὲ νὺξ προβαίνει, ἅμα δ' ἐξημερώσῃ, πρέπει νὰ ἔλθωσιν οἱ ἐχθροί. Καὶ ἂν πέσωμεν εἰς τὰς χεῖρας τοῦ βασιλέως, τί ἐμπόδιον εἶναι, παθόντες ὅλα τὰ κακά, καὶ δοκιμάσαντες ὅλας τὰς σκληρότητας, ν' ἀποθάνωμεν ἀτίμως;

14. Κανεὶς δὲν ἑτοιμάζεται διὰ νὰ προφυλαχθῶμεν, οὔτε φροντίζει, ἀλλ' εἴμεθα ἐξαπλωμένοι, ὡς νὰ ἦτο καιρὸς νὰ ἡσυχάζωμεν· Ἐγὼ λοιπὸν ποίας πόλεως στρατηγὸν προσμένω νὰ κάμῃ ταῦτα; καὶ ποίαν ἄλλην ἡλικίαν ἀναμένω διὰ τὸν ἑαυτόν μου; εἰς τὸ ἑξῆς γέρων δὲν θέλω γείνει, ἀνίσως σήμερον προδώσω τὸν ἑαυτόν μου εἰς τοὺς πολεμίους."

15. Μετὰ ταῦτα σηκόνεται, καὶ συγκαλεῖ πρῶτον τοὺς λοχαγοὺς τοῦ Προξένου. Ἀφοῦ δὲ συνῆλθον, τοὺς λέγει· "Ἐγώ, ὦ ἄνδρες λοχαγοί, οὔτε νὰ κοιμηθῶ δύναμαι, καθὼς ἴσως οὐδὲ σεῖς, οὔτε νὰ κείτωμαι πλέον, βλέπων εἰς ποίαν κατάστασιν εὑρισκόμεθα.

16. Ἐπειδὴ φανερὸν εἶναι, ὅτι οἱ μὲν πολέμιοι δὲν ἐκήρυξαν ἐναντίον ἡμῶν τὸν πόλεμον, πρὶν βεβαιωθῶσιν, ὅτι εἶναι ἀρκετὰ προετοιμασμένοι· ἀπὸ ἡμᾶς δὲ κανεὶς παντελῶς δὲν φροντίζει διὰ τὸ ἐναντίον, ἤγουν, διὰ ν' ἀντισταθῶμεν ὅσον εἶναι δυνατὸν ἀνδρείως.

17. Ἀλλ' ὅμως ἐὰν ἀφεθῶμεν καὶ πέσωμεν εἰς τὰς χεῖρας τοῦ βασιλέως, τί θέλομεν πάθει, νομίζετε, ἀπ' αὐτὸν, ὁ ὁποῖος καὶ τοῦ ὁμομητρίου καὶ τοῦ ὁμοπατρίου ἀδελφοῦ καὶ ἀποθαμμένου πλέον κόψας τὴν κεφαλὴν καὶ τὴν χεῖρα ἐκρέμασεν; ἡμεῖς δὲ, οἱ ὁποῖοι δὲν ἔχομεν κανένα κηδεμόνα, καὶ ἐστρατεύσαμεν ἐναντίον του, διὰ νὰ τὸν κάμωμεν δοῦλον ἀντὶ βασιλέως, καὶ νὰ τὸν φονεύσωμεν, ἐὰν ἠδυνάμεθα, τί νομίζετε, ὅτι θέλομεν πάθει;

18. Ἄρα γε δὲν θέλει μεταχειρισθῆ πᾶν εἶδος σκληρᾶς καὶ ἀτίμου τιμωρίας, ὥστε νὰ προξενήσῃ φόβον εἰς ὅλους, ὥστε

στρατεῦσαί ποτε ἐπ' αὐτόν; Ἀλλ' ὅπως τοι μὴ ἐπ' ἐκείνῳ γενησόμεθα πάντα ποιητέον.

19. Ἐγὼ μὲν οὖν, ἔστε μὲν αἱ σπονδαὶ ἦσαν, οὔποτε ἐπαυόμην ἡμᾶς μὲν οἰκτείρων, βασιλέα δὲ καὶ τοὺς σὺν αὐτῷ μακαρίζων, διαθεώμενος αὐτῶν ὅσην μὲν χώραν καὶ οἵαν ἔχοιεν, ὡς δὲ ἄφθονα τὰ ἐπιτήδεια, ὅσους δὲ θεράποντας, ὅσα δὲ κτήνη, χρυσὸν δέ, ἐσθῆτα δέ.

20. Τὰ δ' αὖ τῶν στρατιωτῶν ὁπότε ἐνθυμοίμην, ὅτι τῶν μὲν ἀγαθῶν πάντων οὐδενὸς ἡμῖν μετείη, εἰ μὴ πριαίμεθα, ὅτου δ' ὠνησόμεθα ᾔδειν ὅτι ὀλίγους ἔχοντας, ἄλλως δέ πως πορίζεσθαι τὰ ἐπιτήδεια ἢ ὠνουμένους ὅρκους ἤδη κατέχοντας ἡμᾶς· ταῦτ' οὖν λογιζόμενος ἐνίοτε τὰς σπονδὰς μᾶλλον ἐφοβούμην ἢ νῦν τὸν πόλεμον.

21. Ἐπεὶ μέντοι ἐκεῖνοι ἔλυσαν τὰς σπονδάς, λελύσθαι μοι δοκεῖ καὶ ἡ ἐκείνων ὕβρις καὶ ἡ ἡμετέρα ὑποψία. Ἐν μέσῳ γὰρ ἤδη κεῖται ταῦτα τὰ ἀγαθά, ἆθλα, ὁπότεροι ἂν ἡμῶν ἄνδρες ἀμείνονες ὦσιν· ἀγωνοθέται δ' οἱ θεοί εἰσιν, οἳ σὺν ἡμῖν, ὡς τὸ εἰκός, ἔσονται.

22. Οὗτοι μὲν γὰρ αὐτοὺς ἐπιωρκήκασιν· ἡμεῖς δέ, πολλὰ ὁρῶντες ἀγαθά, στερρῶς αὐτῶν ἀπειχόμεθα διὰ τοὺς τῶν θεῶν ὅρκους· ὥστε ἐξεῖναί μοι δοκεῖ ἰέναι ἐπὶ τὸν ἀγῶνα πολὺ σὺν φρονήματι μείζονι ἢ τούτοις.

23. Ἔτι δ' ἔχομεν σώματα ἱκανώτερα τούτων καὶ ψύχη καὶ θάλπη καὶ πόνους φέρειν· ἔχομεν δὲ καὶ ψυχὰς σὺν τοῖς θεοῖς ἀμείνονας· οἱ δὲ ἄνδρες καὶ τρωτοὶ καὶ θνητοὶ μᾶλλον ἡμῶν, ἢν οἱ θεοί, ὥσπερ τὸ πρόσθεν, νίκην ἡμῖν διδῶσιν.

νὰ μὴ ἐκστρατεύσωσι καὶ ἄλλην φορὰν ἐναντίον του. Πάντα τρόπον λοιπὸν πρέπει νὰ μεταχειρισθῶμεν, διὰ νὰ μὴ πέσωμεν εἰς τὰς χεῖρας του.

19. Ἐγὼ μὲν, ἐν ὅσῳ ἦτο εἰρήνη, δὲν ἔπαυον νὰ κλαίω τὴν μοῖραν μας, καὶ νὰ μακαρίζω τὸν βασιλέα καὶ τοὺς ἀνθρώπους του· διότι ἔβλεπα, πόσον καὶ ὁποῖον τόπον ἔχουν, πόσον δὲ ἄφθονα τὰ πρὸς ζωὴν τοῦ ἀνθρώπου ἀναγκαῖα, πόσους ὑπηρέτας, πόσα κτήνη, χρυσίον, καὶ φορέματα.

20. Καὶ πάλιν τὰ τῶν Ἑλλήνων στρατιωτῶν, ὁπόταν διελογιζόμην, ὅτι οὐδὲν καλὸν εἴχομεν, ἐὰν δὲν ἠγοράζομεν, ἀλλ' ὁποῖον δήποτε πρᾶγμα ἠθέλομεν ἀγοράσει, ἤξευρα, ὅτι πρῶτον ὀλίγοι ἐξ ἡμῶν εἶχον τὰ μέσα, καὶ δεύτερον ἐμποδιζόμεθα ἀπὸ τοὺς ὅρκους διὰ νὰ πορισθῶμεν τὰ ἀναγκαῖα μὲ ἄλλον τρόπον, εἰμὴ διὰ χρημάτων. Ταῦτα λοιπὸν διαλογιζόμενος ἐνίοτε πλειότερον τότε ἐφοβούμην τὴν εἰρήνην, παρὰ τώρα τὸν πόλεμον.

21. Ἐπειδὴ ὅμως ἐκεῖνοι παρέβησαν τοὺς ὅρκους, μοὶ φαίνεται, ὅτι διελύθη καὶ τούτων ἡ ἀναισχυντία, καὶ ἡ ἰδική μας ὑποψία. Διότι τώρα πλέον, ὅσα καλὰ ἐπηρίθμησα κεῖνται εἰς τὸ μέσον, ὡς ἄθλα, δι' ὅσους ἐξ ἡμῶν ἤθελον ἀναδειχθῆ ἀνδρειότεροι· τὰ βραβεῖα δὲ ταῦτα θέλουσι μοιράζει οἱ θεοὶ, οἱ ὁποῖοι, πρεπόντως, θέλουσι εἶσθαι ἀπὸ τὸ μέρος μας.

22. Ἐπειδὴ οἱ μὲν βάρβαροι ἐπιώρκησαν· ἡμεῖς δὲ, καὶ βλέποντες πολλὰ ἀγαθὰ, σταθερῶς ἀπεμακρυνόμεθα ἀπ' αὐτὰ, σεβόμενοι τοὺς τῶν θεῶν ὅρκους· ὥστε μοὶ φαίνεται, ὅτι ἡμεῖς ἔχομεν δίκαιον νὰ ἔμβωμεν εἰς τοῦτον τὸν πόλεμον μὲ πολὺ μεγαλητέραν τόλμην, παρὰ οἱ βάρβαροι.

23. Πρὸς τούτοις καὶ σώματα ἱκανώτερα τούτων ἔχομεν εἰς τὸ νὰ ὑποφέρωμεν καὶ ψύχη καὶ καύσωνας καὶ κόπους· ἔχομεν δὲ καὶ ψυχὰς γενναιοτέρας μὲ τὴν χάριν τοῦ θεοῦ· οἱ βάρβαροι ὅμως καὶ πληγόνονται, καὶ ἀποθνήσκουν εὐκολώτερα ἀπὸ ἡμᾶς, ἐὰν μᾶς βοηθῶσιν οἱ θεοὶ διὰ νὰ νικῶμεν, ὡς καὶ πρότερον.

24. Ἀλλ' ἴσως γὰρ καὶ ἄλλοι ταῦτα ἐνθυμοῦνται, πρὸς τῶν θεῶν μὴ ἀναμένωμεν ἄλλους ἐφ' ἡμᾶς ἐλθεῖν, παρακαλοῦντας ἐπὶ τὰ κάλλιστα ἔργα, ἀλλ' ἡμεῖς ἄρξωμεν τοῦ ἐξορμῆσαι καὶ τοὺς ἄλλους ἐπὶ τὴν ἀρετήν. Φάνητε τῶν λοχαγῶν ἄριστοι καὶ τῶν στρατηγῶν ἀξιοστρατηγότεροι.

25. Κἀγὼ δέ, εἰ μὲν ὑμεῖς ἐθέλετε ἐξορμᾶν ἐπὶ ταῦτα, ἕπεσθαι ὑμῖν βούλομαι· εἰ δ' ὑμεῖς τάττετέ με ἡγεῖσθαι, οὐδὲν προφασίζομαι τὴν ἡλικίαν, ἀλλὰ καὶ ἀκμάζειν ἡγοῦμαι ἐρύκειν ἀπ' ἐμαυτοῦ τὰ κακά.

26. Ὁ μὲν ταῦτ' ἔλεξεν, οἱ δὲ λοχαγοὶ ἀκούσαντες [ταῦτα] ἡγεῖσθαι ἐκέλευον ἅπαντες· πλὴν Ἀπολλωνίδης τις ἦν, βοιωτιάζων τῇ φωνῇ· οὗτος δ' εἶπεν ὅτι φλυαροίη ὅστις λέγει ἄλλως πως σωτηρίας ἂν τυχεῖν ἢ βασιλέα πείσας, εἰ δύναιτο· καὶ ἅμα ἤρχετο λέγειν τὰς ἀπορίας.

27. Ὁ μέντοι Ξενοφῶν μεταξὺ ὑπολαβὼν ἔλεξεν ὧδε· Ὦ θαυμασιώτατε ἄνθρωπε, σὺ δέ γε οὐδὲ ἱρῶν γινώσκεις, οὐδὲ ἀκούων μέμνησαι. Ἐν ταὐτῷ γε μέντοι ἦσθα τούτοις, ὅτε βασιλεύς, ἐπεὶ Κῦρος ἀπέθανε, μέγα φρονήσας ἐπὶ τούτῳ, πέμπων ἐκέλευε παραδιδόναι τὰ ὅπλα.

28. Ἐπεὶ δὲ ἡμεῖς οὐ παραδόντες, ἀλλ' ἐξωπλισμένοι ἐλθόντες παρεσκηνήσαμεν αὐτῷ, τί οὐκ ἐποίησε πρέσβεις πέμπων καὶ σπονδὰς αἰτῶν καὶ παρέχων τὰ ἐπιτήδεια, ἕστε σπονδῶν ἔτυχεν;

29. Ἐπεὶ δ' αὖ οἱ στρατηγοὶ καὶ λοχαγοί, ὥσπερ δὴ σὺ κελεύεις, εἰς λόγους αὐτοῖς ἄνευ ὅπλων ἦλθον, ·τεύσαντες ταῖς σπονδαῖς, οὐ νῦν ἐκεῖνοι παιόμενοι,

24. Ἀλλ' ἐνδέχεται νὰ ἔχωσι καὶ ἄλλοι ἀπὸ σᾶς τὰ αὐτὰ φρονήματα· δι' ὄνομα τῶν θεῶν, ἂς μὴ προσμένωμεν ἄλλους νὰ ἔλθωσιν εἰς ἡμᾶς, καὶ νὰ μᾶς προτρέψωσιν εἰς ἔνδοξα ἔργα, ἀλλ' ἡμεῖς ἂς κάμωμεν ἀρχὴν νὰ παρακινῶμεν καὶ τοὺς ἄλλους εἰς τὴν ἀρετήν. Φανῆτε, ὅτι εἶσθε ἄριστοι λοχαγοὶ, καὶ τῶν στρατηγῶν ἀξιοστρατηγότεροι.

25. Κ' ἐγὼ δὲ, ἐὰν σεῖς θελήσετε νὰ παρακινήσετε καὶ τοὺς ἄλλους εἰς τοῦτο, θέλω σᾶς ἀκολουθήσει. Καὶ ἂν μὲ χειροτονήσετε στρατηγὸν, δὲν προφασίζομαι παντελῶς τὴν ἡλικίαν μου, ἀλλὰ καὶ νομίζω, ὅτι εἶμαι εἰς τὸ ἄνθος τῆς ἡλικίας μου, διὰ ν' ἀπομακρύνω ἀπὸ τὸν ἑαυτόν μου τὰ κακά."

26. Ὁ μὲν Ξενοφῶν ταῦτα εἶπε, οἱ δὲ λοχαγοὶ ἀκούσαντες τοὺς λόγους του, τὸν ἐψήφισαν ὅλοι στρατηγόν των. Πλὴν ἦτο Ἀπολλωνίδης τις, ὁμιλῶν ὡς Βοιωτός· οὗτος δὲ εἶπεν, ὅτι φλυαρεῖ, ὅστις λέγει, ὅτι μὲ ἄλλον τρόπον ἤθελε τύχει σωτηρίαν, παρὰ μὲ τὴν ἄδειαν τοῦ βασιλέως, ἂν εἰμπορέσῃ νὰ τὴν λάβῃ· καὶ εἰς τὸν αὐτὸν καιρὸν ἤρχισε νὰ λέγῃ τὰς δυσκολίας.

27. Ἀλλ' ὁ Ξενοφῶν διέκοψε τὴν ὁμιλίαν του, καὶ εἶπε ταῦτα· "Ὦ παραδοξότατε ἄνθρωπε, σὺ οὔτε καταλαμβάνεις ὅ, τι βλέπεις, οὔτ' ἐνθυμεῖσαι ὅ, τι ἀκούεις. Ἤσο βέβαια εἰς τὴν αὐτὴν περίστασιν, εἰς τὴν ὁποίαν εὑρέθησαν καὶ οὗτοι, ὅτε ὁ βασιλεὺς, μετὰ τὸν θάνατον τοῦ Κύρου, ὑπερηφανευθεὶς διὰ τοῦτο, ἔστειλε καὶ μᾶς προσέταξε νὰ παραδώσωμεν τὰ ὅπλα.

28. Ἐπειδὴ δὲ ἡμεῖς δὲν τὰ παρεδώκαμεν, ἀλλ' ὡπλισμένοι ἤλθομεν, κ' ἐστήσαμεν πλησίον αὐτοῦ τὸ στρατόπεδον, ¦τὶ δὲν ἔκαμε, πέμπων πρέσβεις καὶ ζητῶν τὴν εἰρήνην, καὶ δίδων ζωοτροφίας, ἕως ἐπέτυχε νὰ κάμῃ εἰρήνην;

29. Καὶ ὅτε πάλιν οἱ στρατηγοὶ καὶ λοχαγοὶ, καθὼς δὰ καὶ σὺ συμβουλεύεις, ἦλθον εἰς συνομιλίαν μὲ αὐτοὺς χωρὶς ὅπλα, δόντες πίστιν εἰς τὰς συνθήκας, ¦τώρα δὲν δέρονται,

κεντούμενοι, ὑβριζόμενοι, οὐδὲ ἀποθανεῖν οἱ τλήμονες δύνανται; καὶ μάλ', οἶμαι, ἐρῶντες τούτου. Ἃ σὺ πάντα εἰδὼς τοὺς μὲν ἀμύνασθαι κελεύοντας φλυαρεῖν φῄς, πείθειν δὲ πάλιν κελεύεις ἰόντας;

30. Ἐμοί, ὦ ἄνδρες, δοκεῖ τὸν ἄνθρωπον τοῦτον μήτε προσίεσθαι εἰς ταὐτὸ ἡμῖν αὐτοῖς, ἀφελομένους τε τὴν λοχαγίαν σκεύη ἀναθέντας ὡς τοιούτῳ χρῆσθαι. Οὗτος γὰρ καὶ τὴν πατρίδα καταισχύνει καὶ πᾶσαν τὴν Ἑλλάδα, ὅτι Ἕλλην ὢν τοιοῦτός ἐστιν.

31. Ἐντεῦθεν ὑπολαβὼν Ἀγασίας Στυμφάλιος εἶπεν· Ἀλλὰ τούτῳ γε οὔτε τῆς Βοιωτίας προσήκει οὐδὲν οὔτε τῆς Ἑλλάδος παντάπασιν· ἐπεὶ ἐγὼ αὐτὸν εἶδον, ὥσπερ Λυδόν, ἀμφότερα τὰ ὦτα τετρυπημένον. Καὶ εἶχεν οὕτως.

32. Τοῦτον μὲν οὖν ἀπήλασαν· οἱ δὲ ἄλλοι παρὰ τὰς τάξεις ἰόντες, ὅπου μὲν στρατηγὸς σῶος εἴη, τὸν στρατηγὸν παρεκάλουν· ὁπόθεν δὲ οἴχοιτο, τὸν ὑποστρατηγόν· ὅπου δ' αὖ λοχαγὸς σῶος εἴη, τὸν λοχαγόν.

33. Ἐπεὶ δὲ πάντες συνῆλθον, εἰς τὸ πρόσθεν τῶν ὅπλων ἐκαθέζοντο· καὶ ἐγένοντο οἱ συνελθόντες στρατηγοὶ καὶ λοχαγοὶ ἀμφὶ τοὺς ἑκατόν. Ὅτε δὲ ταῦτα ἦν σχεδὸν μέσαι ἦσαν νύκτες.

34. Ἐνταῦθα Ἱερώνυμος Ἠλεῖος, πρεσβύτατος ὢν τῶν Προξένου λοχαγῶν, ἤρχετο λέγειν ὧδε· Ἡμῖν, ὦ ἄνδρες στρατηγοὶ καὶ λοχαγοί, ὁρῶσι τὰ παρόντα ἔδοξε καὶ αὐτοῖς συνελθεῖν καὶ ὑμᾶς παρακαλέσαι, ὅπως βουλευσαίμεθα εἴ τι δυναίμεθα ἀγαθόν. Λέξον δ', ἔφη, καὶ σύ, ὦ Ξενοφῶν, ἅπερ καὶ πρὸς ἡμᾶς.

δὲν κεντοῦνται, δὲν ἀτιμάζονται, καὶ οὔτε ν' ἀποθάνωσι δύνανται οἱ ταλαίπωροι, ἂν καὶ, ὡς νομίζω, πολλὰ ἐπιθυμοῦν τοῦτο. Αὐτὰ ὅλα, μ' ὅλον ὅτι καὶ σὺ τὰ ἠξεύρεις, λέγεις, ὅτι φλυαροῦν ὅσοι συμβουλεύουν ν' ἀντισταθῶσιν εἰς τὸν ἐχθρὸν, ἂν ἔλθῃ ἐναντίον μας, καὶ πάλιν συμβουλεύεις νὰ ὑπάγωμεν νὰ ζητήσωμεν ἄδειαν ἀπὸ τὸν βασιλέα;

30. Ἡ γνώμη μου εἶναι, ὦ ἄνδρες, τὸν ἄνθρωπον τοῦτον νὰ μὴ τὸν δεχώμεθα εἰς τὴν συνέλευσίν μας, ἀλλ' ἀφαιρέσαντες ἀπ' αὐτὸν τὴν λοχαγίαν, καὶ φορτόνοντές τον σκεύη, νὰ τὸν μεταχειριζώμεθα ὡς σκευοφόρον. Διότι οὗτος καὶ τὴν πατρίδα καταισχύνει καὶ ὅλην τὴν Ἑλλάδα, ὅτι, Ἕλλην ὤν, εἶναι τοιοῦτος."

31. Τότε διακόψας τὸν λόγον Ἀγασίας ὁ Στυμφάλιος, εἶπεν· "Ἀλλ' οὗτος, οὔτε μὲ τὴν Βοιωτίαν ποσῶς ἔχει νὰ κάμῃ, οὔτε παντάπασι μὲ τὴν Ἑλλάδα· διότι ἐγὼ τὸν εἶδα, ὡς Λυδὸν, τρυπημένον καὶ τὰ δύο του αὐτία." Καὶ ἦτο ἀληθές.

32. Ὅθεν τοῦτον μὲν ἐδίωξαν· οἱ δὲ ἄλλοι ὑπῆγον εἰς τὰς τάξεις, καὶ ὅπου μὲν ἦτο στρατηγὸς σῶος τὸν στρατηγὸν προσεκάλουν, ὅπου δὲ εἶχε λείψει, τὸν ὑποστρατηγὸν, ὅπου δὲ πάλιν λοχαγὸς εἶχε μείνει σῶος, τὸν λοχαγόν.

33. Ὅτε δὲ ὅλοι συνῆλθον, ἐκάθησαν ἀπέναντι τοῦ τόπου τῆς νυκτερινῆς φυλακῆς, κ' ἔγειναν οἱ συναχθέντες στρατηγοὶ καὶ λοχαγοὶ ὡς ἑκατόν. Ὅτε δὲ ἐγίνοντο ταῦτα, ἦτο σχεδὸν μεσάνυκτα.

34. Τότε Ἱερώνυμος ὁ Ἠλεῖος, ὁ γεροντότερος τῶν λοχαγῶν τοῦ Προξένου, ἤρχισε νὰ λέγῃ οὕτως· "Ἡμεῖς, ὦ ἄνδρες στρατηγοὶ καὶ λοχαγοὶ, βλέποντες τὴν παροῦσαν μας κατάστασιν ἐκρίναμεν εὔλογον νὰ συνέλθωμεν καὶ νὰ προσκαλέσωμεν καὶ σᾶς, διὰ νὰ συμβουλευθῶμεν, ἐὰν δυνάμεθα ἀγαθόν τι Ὁμίλησον, εἶπε, καὶ σὺ, ὦ Ξενοφῶν, ὅσα καὶ πρὸς ἡμᾶς εἶπας."

35. Ἐκ τούτου λέγει τάδε Ξενοφῶν· Ἀλλὰ ταῦτα μὲν δὴ πάντες ἐπιστάμεθα ὅτι βασιλεὺς καὶ Τισσαφέρνης, οὓς μὲν ἐδυνήθησαν, συνειλήφασιν ἡμῶν· τοῖς δ' ἄλλοις δῆλον ὅτι ἐπιβουλεύουσιν, ὡς, ἢν δύνωνται, ἀπολέσωσιν. Ἡμῖν δέ γ' οἶμαι πάντα ποιητέα ὡς μήποτε ἐπὶ τοῖς βαρβάροις γενώμεθα, ἀλλὰ μᾶλλον, ἢν δυνώμεθα, ἐκεῖνοι ἐφ' ἡμῖν.

36. Εὖ τοίνυν ἐπίστασθε ὅτι ὑμεῖς, τοσοῦτοι ὄντες, ὅσοι νῦν συνεληλύθατε, μέγιστον ἔχετε καιρόν. Οἱ γὰρ στρατιῶται πάντες οὗτοι πρὸς ὑμᾶς ἀποβλέπουσι· κἂν μὲν ὑμᾶς ὁρῶσιν ἀθυμοῦντας, πάντες κακοὶ ἔσονται· ἢν δὲ ὑμεῖς αὐτοί τε παρασκευαζόμενοι φανεροὶ ἦτε ἐπὶ τοὺς πολεμίους καὶ τοὺς ἄλλους παρακαλῆτε, εὖ ἴστε ὅτι ἕψονται ὑμῖν καὶ πειράσονται μιμεῖσθαι.

37. Ἴσως δέ τοι καὶ δίκαιόν ἐστιν ὑμᾶς διαφέρειν τι τούτων. Ὑμεῖς γάρ ἐστε στρατηγοί, ὑμεῖς ταξίαρχοι καὶ λοχαγοί· καὶ ὅτε εἰρήνη ἦν, ὑμεῖς καὶ χρήμασι καὶ τιμαῖς τούτων ἐπλεονεκτεῖτε· καὶ νῦν τοίνυν ἐπεὶ πόλεμός ἐστιν, ἀξιοῦν δεῖ ὑμᾶς αὐτοὺς ἀμείνους τε τοῦ πλήθους εἶναι καὶ προβουλεύειν τούτων καὶ προπονεῖν, ἤν που δέῃ.

38. Καὶ νῦν πρῶτον μὲν οἴομαι ἂν ὑμᾶς μέγα ὠφελῆσαι τὸ στράτευμα, εἰ ἐπιμεληθείητε ὅπως ἀντὶ τῶν ἀπολωλότων ὡς τάχιστα στρατηγοὶ καὶ λοχαγοὶ ἀντικατασταθῶσιν. Ἄνευ γὰρ ἀρχόντων οὐδὲν ἂν οὔτε καλὸν οὔτε ἀγαθὸν γένοιτο, ὡς μὲν συνελόντι εἰπεῖν, οὐδαμοῦ· ἐν δὲ δὴ τοῖς πολεμικοῖς παντάπασιν. Ἡ μὲν γὰρ εὐταξία σώζειν δοκεῖ, ἡ δὲ ἀταξία πολλοὺς ἤδη ἀπολώλεκεν.

35. Τότε ὁ Ξενοφῶν ὡμίλησεν οὕτως· "Βέβαια ὅλοι ἠξεύρομεν ταῦτα, ὅτι ὁ βασιλεὺς καὶ ὁ Τισσαφέρνης, ὅσους ἐξ ἡμῶν ἐδυνήθησαν, συνέλαβον, καὶ φανερὸν εἶναι, ὅτι καὶ τοὺς ἄλλους ἡμᾶς ἐπιβουλεύουσιν, ὥστε, ἂν δύνωνται, νὰ μᾶς ἐξολοθρεύσωσιν. Ἡμεῖς ὅμως, νομίζω, πρέπει νὰ κάμωμεν πάντα τρόπον, νὰ μὴ πέσωμεν εἰς τὰς χεῖρας τῶν βαρβάρων, ἀλλὰ μάλιστα, ἂν ᾖναι δυνατὸν, ἐκεῖνοι νὰ πέσωσιν εἰς τὰς ἰδικάς μας χεῖρας.

36. Καλὰ λοιπὸν ἠξεύρετε, ὅτι σεῖς, τοσοῦτοι ὄντες, ὅσοι ἐδῶ συνήλθετε, ἔχετε τὴν μεγίστην ἐνέργειαν καὶ ἐπιῤῥοὴν ἐπάνω εἰς τὰς ψυχὰς τῶν στρατιωτῶν. Διότι ὅλοι οὗτοι πρὸς ἐσᾶς ἀποβλέπουσι· καὶ ἐὰν μὲν σᾶς βλέπωσι χωρὶς καρδίαν, ὅλοι χάνουν τὴν προθυμίαν· ἐὰν ὅμως δείξετε, ὅτι ἑτοιμάζεσθε καὶ σεῖς οἱ ἴδιοι ἐναντίον τῶν ἐχθρῶν, καὶ τοὺς ἄλλους παρακινεῖτε, νὰ ἦσθε βέβαιοι, ὅτι θέλουν σᾶς ἀκολουθήσει, καὶ πασχίσει νὰ σᾶς μιμηθῶσιν.

37. Ἴσως εἶναι καὶ δίκαιον κατά τι νὰ διαφέρετε ἀπὸ αὐτούς. Διότι σεῖς εἶσθε στρατηγοὶ, σεῖς εἶσθε ταξίαρχοι καὶ λοχαγοὶ, καὶ ὅτε ἦτο εἰρήνη, σεῖς ἐλαμβάνετε καὶ πλειότερα ἀπὸ τούτους, καὶ χρήματα καὶ τιμάς· καὶ τώρα λοιπὸν, ἐπειδὴ εἶναι πόλεμος, πρέπει νὰ πασχίσετε νὰ φανῆτε ἀξιώτεροι ἀπὸ τοὺς πολλοὺς, εἰς τὸ νὰ ἦσθε πρῶτοι καὶ εἰς τὰς συμβουλὰς καὶ εἰς τοὺς κόπους, ἐὰν ὑπάρξῃ χρεία τις.

38. Καὶ τώρα νομίζω, ὅτι εἰς τοῦτο πρῶτον εἰμπορεῖ πολλὰ νὰ σᾶς χρησιμεύσῃ τὸ στράτευμα, ἤγουν, ἐὰν φροντίσετε, ὥστε ἀντὶ τῶν φονευθέντων ν' ἀντικατασταθῶσιν ὅσον τάχιστα στρατηγοὶ καὶ λοχαγοί. Διότι χωρὶς ἀρχηγοὺς οὐδὲν, οὔτε καλὸν, οὔτε ὠφέλιμον εἰμπορεῖ νὰ γείνῃ, καὶ διὰ νὰ ὁμιλήσω μὲ ὀλίγους λόγους, εἰς κανὲν μέρος· εἰς δὲ τὸν πόλεμον ὁλότελα. Διότι εἶναι φανερὸν, ὅτι ἡ μὲν εὐταξία σώζει τὸ στράτευμα, ἡ δὲ ἀταξία πολλοὺς πολλάκις ἐξωλόθρευσεν.

39. Ἐπειδὰν δὲ καταστήσησθε τοὺς ἄρχοντας ὅσους δεῖ, ἢν καὶ τοὺς ἄλλους στρατιώτας συλλέγητε καὶ παραθαρσύνητε, οἶμαι ἂν ὑμᾶς πάνυ ἐν καιρῷ ποιῆσαι.

40. Νῦν [μὲν] γὰρ ἴσως καὶ ὑμεῖς αἰσθάνεσθε ὡς ἀθύμως μὲν ἦλθον ἐπὶ τὰ ὅπλα, ἀθύμως δὲ πρὸς τὰς φυλακάς· ὥστε, οὕτω γ' ἐχόντων, οὐκ οἶδα ὅ τι ἄν τις χρήσαιτο αὐτοῖς, εἴτε νυκτὸς δέοι τι εἴτε καὶ ἡμέρας·

41. Ἢν δέ τις αὐτῶν τρέψῃ τὰς γνώμας, ὡς μὴ τοῦτο μόνον ἐννοῶνται, τί πείσονται, ἀλλὰ καὶ τί ποιήσουσι, πολὺ εὐθυμότεροι ἔσονται.

42. Ἐπίστασθε γὰρ δήπου ὅτι οὔτε πλῆθός ἐστιν οὔτε ἰσχὺς ἡ ἐν τῷ πολέμῳ τὰς νίκας ποιοῦσα· ἀλλ' ὁπότεροι ἂν σὺν τοῖς θεοῖς ταῖς ψυχαῖς ἐρρωμενέστεροι ἴωσιν ἐπὶ τοὺς πολεμίους, τούτους ὡς ἐπὶ τὸ πολὺ οἱ ἐναντίοι οὐ δέχονται.

43. Ἐντεθύμημαι δ' ἔγωγε, ὦ ἄνδρες, καὶ τοῦτο, ὅτι, ὁπόσοι μὲν μαστεύουσι ζῆν ἐκ παντὸς τρόπου ἐν τοῖς πολεμικοῖς, οὗτοι μὲν κακῶς τε καὶ αἰσχρῶς ὡς ἐπὶ τὸ πολὺ ἀποθνήσκουσιν· ὁπόσοι δὲ τὸν μὲν θάνατον ἐγνώκασι πᾶσι κοινὸν εἶναι καὶ ἀναγκαῖον ἀνθρώποις, περὶ δὲ τοῦ καλῶς ἀποθνήσκειν ἀγωνίζονται, τούτους ὁρῶ μᾶλλόν πως εἰς τὸ γῆρας ἀφικνουμένους, καὶ, ἕως ἂν ζῶσιν, εὐδαιμονέστερον διάγοντας.

44. Ἃ καὶ ἡμᾶς δεῖ νῦν καταμαθόντας, ἐν τοιούτῳ γὰρ καιρῷ ἐσμέν, αὐτούς τε ἄνδρας ἀγαθοὺς εἶναι καὶ τοὺς ἄλλους παρακαλεῖν. Ὁ μὲν ταῦτα εἰπὼν ἐπαύσατο.

45. Μετὰ δὲ τοῦτον εἶπε Χειρίσοφος· Ἀλλὰ πρόσθεν μέν, ὦ Ξενοφῶν, τοσοῦτον μόνον σε ἐγίνωσκον ὅσον

39. Ὅταν δὲ καταστήσετε τοὺς ἀρχηγοὺς, ὅσοι χρειάζονται, ἂν καὶ τοὺς ἄλλους ἔπειτα στρατιώτας συνάξετε καὶ τοὺς ἐγκαρδιώσετε, νομίζω, ὅτι εἰς πολλὰ ἁρμόδιον καιρὸν θέλετε τὸ κάμει.

40. Διότι τώρα ἴσως καὶ σεῖς αἰσθάνεσθε, ὅτι χωρὶς καρδίαν ἦλθον διὰ νὰ λάβωσι τὰ ὅπλα των, καὶ χωρὶς καρδίαν διὰ νὰ φυλάξωσι φυλακὰς, ὥστε, εἰς τοιαύτην κατάστασιν ὅταν εὑρίσκωνται, δὲν ἠξεύρω, εἰς τὶ δύναταί τις νὰ τοὺς μεταχειρισθῇ, ἂν χρειασθῇ τι ἢ τὴν νύκτα ἢ τὴν ἡμέραν.

41. Ἐὰν ὅμως τις στρέψῃ πρὸς ἄλλο μέρος τοὺς διαλογισμοὺς αὐτῶν, ὥστε νὰ μὴ συλλογίζωνται τοῦτο μόνον, ἤγουν, τὶ κακὸν θέλουν πάθει, ἀλλὰ καὶ τὶ δύνανται νὰ κάμωσι, πολὺ περισσότερον θέλουν ἐγκαρδιωθῆ.

42. Διότι ἠξεύρετε βέβαια, ὅτι οὔτε τὸ πλῆθος, οὔτε ἡ δύναμις προξενεῖ τὴν νίκην εἰς τὸν πόλεμον, ἀλλ' ὅσοι ἐπικαλούμενοι τὴν βοήθειαν τῶν θεῶν, μὲ πλειοτέραν γενναιοψυχίαν ὑπάγουν ἐναντίον τῶν ἐχθρῶν, εἰς τούτους ὡς ἐπὶ τὸ πλεῖστον δὲν ἀντιστέκονται οἱ ἐχθροί.

43. Παρετήρησα προστούτοις καὶ τοῦτο, ὦ ἄνδρες, ὅτι, ὅσοι μὲν προσπαθοῦν νὰ φυλάξωσι κατὰ πάντα τρόπον τὴν ζωήν των εἰς τὸν πόλεμον, οὗτοι ὡς ἐπὶ τὸ πλεῖστον κακὰ καὶ ἄτιμα ἀποθνήσκουσιν· ὅσοι δὲ γνωρίζουν, ὅτι ὁ θάνατος εἶναι κοινὸς εἰς ὅλους, καὶ ἄφευκτος εἰς τοὺς ἀνθρώπους, καὶ ἀγωνίζονται ν' ἀποθάνωσιν ἐνδόξως, οὗτοι μάλιστα φθάνουσιν εἰς τὸ γῆρας, καὶ διάγουσιν εὐτυχέστερα τὴν ἐπίλοιπον ζωήν των.

44. Ἐπειδὴ λοιπὸν ἠξεύρετε αὐτὰ, διότι εἰς τοιοῦτον καιρὸν εὑρισκόμεθα πρέπει νὰ φανῆτε καὶ σεῖς ἀνδρεῖοι, καὶ τοὺς ἄλλους εἰς τοῦτο νὰ παρακινῆτε." Ὁ μὲν Ξενοφῶν εἰπὼν ταῦτα ἐσιώπησε.

45. Μετὰ δὲ τοῦτον εἶπεν ὁ Χειρίσοφος· "Ἀλλὰ πρότερον μὲν, ὦ Ξενοφῶν, τόσον μόνον σ' ἐγνώριζον, ὅσον ἤκουον, ὅτι εἶσαι

ἥκουον Ἀθηναῖον εἶναι· νῦν δὲ καὶ ἐπαινῶ σε ἐφ' οἷς λέγεις τε καὶ πράττεις, καὶ βουλοίμην ἂν ὅτι πλείστους εἶναι τοιούτους· κοινὸν γὰρ ἂν εἴη τὸ ἀγαθόν.

46. Καὶ νῦν, ἔφη, μὴ μέλλωμεν, ὦ ἄνδρες, ἀλλ' ἀπελθόντες ἤδη αἱρεῖσθε οἱ δεόμενοι ἄρχοντας, καὶ ἑλόμενοι ἥκετε εἰς τὸ μέσον τοῦ στρατοπέδου καὶ τοὺς αἱρεθέντας ἄγετε· ἔπειτ' ἐκεῖ συγκαλοῦμεν τοὺς ἄλλους στρατιώτας· παρέστω δ' ἡμῖν, ἔφη, καὶ Τολμίδης ὁ κήρυξ.

47. Καὶ ἅμα ταῦτ' εἰπὼν ἀνέστη, ὡς μὴ μέλλοιτο ἀλλὰ περαίνοιτο τὰ δέοντα. Ἐκ τούτου ᾑρέθησαν ἄρχοντες ἀντὶ μὲν Κλεάρχου Τιμασίων Δαρδανεύς, ἀντὶ δὲ Σωκράτους Ξανθικλῆς Ἀχαιός, ἀντὶ δὲ Ἀγίου Ἀρκάδος Κλεάνωρ Ὀρχομένιος, ἀντὶ δὲ Μένωνος Φιλήσιος Ἀχαιός, ἀντὶ δὲ Προξένου Ξενοφῶν Ἀθηναῖος.

ΚΕΦ. Β'.

1. Ἐπεὶ δὲ ᾕρηντο, ἡμέρα τε σχεδὸν ὑπέφαινε καὶ εἰς τὸ μέσον ἧκον οἱ ἄρχοντες· καὶ ἔδοξεν αὐτοῖς προφυλακὰς καταστήσαντας συγκαλεῖν τοὺς στρατιώτας. Ἐπεὶ δὲ καὶ οἱ ἄλλοι στρατιῶται συνῆλθον, ἀνέστη πρῶτον μὲν Χειρίσοφος ὁ Λακεδαιμόνιος καὶ ἔλεξεν ὧδε·

2. Ὦ ἄνδρες στρατιῶται, χαλεπὰ μὲν τὰ παρόντα, ἱπότε ἀνδρῶν στρατηγῶν τοιούτων στερόμεθα καὶ λοχαγῶν καὶ στρατιωτῶν· πρὸς δ' ἔτι καὶ οἱ ἀμφὶ Ἀριαῖον, οἱ πρόσθεν σύμμαχοι ὄντες, προδεδώκασιν ἡμᾶς.

Ἀθηναῖος· τώρα δὲ καὶ σὲ ἐπαινῶ δι' ὅσα λέγεις καὶ πράττεις, καὶ ἐπεθύμουν νὰ ᾖναι πλεῖστοι τοιοῦτοι· διότι κοινὸν ἤθελεν εἶσθαι τὸ καλόν.

46. Τώρα λοιπὸν, εἶπε, μὴ βραδύνετε, ὦ ἄνδρες, ἀλλ' ὑπάγετε καὶ ἐκλέξετε ἀρχηγοὺς, ὅσοι δὲν ἔχετε· καὶ ἀφοῦ ἐκλέξετε, ἔλθετε εἰς τὸ μέσον τοῦ στρατοπέδου, καὶ φέρετε τοὺς ἐκλεχθέντας· ἔπειτα ἐκεῖ συγκαλοῦμεν καὶ τοὺς ἄλλους στρατιώτας· ἃς ἔλθῃ ἐδῶ, εἶπε, καὶ Τολμίδης ὁ κήρυξ."

47. Καὶ ἅμα εἰπὼν ταῦτα ἐσηκώθη, διὰ νὰ μὴ γίνεται ἀργοπορία, ἀλλὰ νὰ τελειόνωσι τὰ ἀναγκαῖα. Ὅθεν ἐξελέχθησαν ἀρχηγοὶ, ἀντὶ μὲν τοῦ Κλεάρχου Τιμασίων ὁ Δαρδανεὺς, ἀντὶ δὲ τοῦ Σωκράτους Ξανθικλῆς ὁ Ἀχαιὸς, ἀντὶ δὲ Ἀγίου τοῦ Ἀρκάδος Κλεάνωρ ὁ Ὀρχομένιος, ἀντὶ δὲ Μένωνος Φιλήσιος ὁ Ἀχαιὸς, ἀντὶ δὲ τοῦ Προξένου Ξενοφῶν ὁ Ἀθηναῖος.

ΚΕΦ. Β'.

1. Ἀφοῦ δ' ἔκαμον τὴν ἐκλογὴν, ἤρχισε σχεδὸν καὶ νὰ ἐξημερόνῃ, κ' ἦλθον εἰς τὸ μέσον τοῦ στρατοπέδου οἱ ἀρχηγοὶ, κ' ἔκριναν ἀναγκαῖον νὰ βάλωσι προφυλακὰς, καὶ νὰ συγκαλέσωσι τοὺς στρατιώτας. Ἀφοῦ δὲ συνῆλθον καὶ οἱ ἄλλοι στρατιῶται, ἐσηκώθη πρῶτος Χειρίσοφος ὁ Λακεδαιμόνιος, καὶ ὡμίλησεν οὕτως·

2. "Ὦ ἄνδρες στρατιῶται, εἶναι κατ' ἀλήθειαν δεινὴ ἡ παροῦσα κατάστασις, διότι στρατηγοὺς ἐχάσαμεν τοιούτους ἄνδρας καὶ λοχαγοὺς καὶ στρατιώτας· προστούτοις καὶ ὁ Ἀριαῖος καὶ οἱ ἄνθρωποί του, οἱ πρότερον ὄντες σύμμαχοι, μᾶς ἐπρόδοσαν.

3. Ὅμως δὲ δεῖ ἐκ τῶν παρόντων ἄνδρας ἀγαθούς τε ἐλθεῖν καὶ μὴ ὑφίεσθαι, ἀλλὰ πειρᾶσθαι ὅπως, ἢν μὲν δυνώμεθα, καλῶς νικῶντες σωζώμεθα· εἰ δὲ μή, ἀλλὰ καλῶς γε ἀποθνήσκωμεν, ὑποχείριοι δὲ μήποτε γενώμεθα ζῶντες τοῖς πολεμίοις· οἴομαι γὰρ ἂν ἡμᾶς τοιαῦτα παθεῖν οἷα τοὺς ἐχθροὺς οἱ θεοὶ ποιήσειαν.

4. Ἐπὶ τούτῳ Κλεάνωρ Ὀρχομένιος ἀνέστη, καὶ ἔλεξεν ὧδε· Ἀλλ' ὁρᾶτε μέν, ὦ ἄνδρες, τὴν βασιλέως ἐπιορκίαν καὶ ἀσέβειαν· ὁρᾶτε δὲ τὴν Τισσαφέρνους ἀπιστίαν, ὅστις λέγων ὡς γείτων τε εἴη τῆς Ἑλλάδος καὶ περὶ πλείστου ἂν ποιήσαιτο σῶσαι ἡμᾶς, καὶ ἐπὶ τούτοις αὐτὸς ὀμόσας ἡμῖν, αὐτὸς δεξιὰς δούς, αὐτὸς ἐξαπατήσας συνέλαβε τοὺς στρατηγούς, καὶ οὐδὲ Δία Ξένιον ᾐδέσθη, ἀλλὰ Κλεάρχῳ (γε) καὶ ὁμοτράπεζος γενόμενος, αὐτοῖς τούτοις ἐξαπατήσας τοὺς ἄνδρας ἀπολώλεκεν.

5. Ἀριαῖος δὲ, ὃν ἡμεῖς ἠθέλομεν βασιλέα καθιστάναι, καὶ ἐδώκαμεν καὶ ἐλάβομεν πιστὰ μὴ προδώσειν ἀλλήλους, καὶ οὗτος, οὔτε τοὺς θεοὺς δείσας οὔτε Κῦρον τεθνηκότα αἰδεσθείς, τιμώμενος μάλιστα ὑπὸ Κύρου ζῶντος, νῦν πρὸς τοὺς ἐκείνου ἐχθίστους ἀποστὰς ἡμᾶς τοὺς Κύρου φίλους κακῶς ποιεῖν πειρᾶται.

6. Ἀλλὰ τούτους μὲν οἱ θεοὶ ἀποτίσαιντο· ἡμᾶς δὲ δεῖ, ταῦτα ὁρῶντας, μήποτε ἐξαπατηθῆναι ἔτι ὑπὸ τούτων, ἀλλὰ μαχομένους ὡς ἂν δυνώμεθα κράτιστα τοῦτο ὅ τι ἂν δοκῇ τοῖς θεοῖς πάσχειν.

7. Ἐκ τούτου Ξενοφῶν ἀνίσταται ἐσταλμένος ἐπὶ πόλεμον ὡς ἐδύνατο κάλλιστα, νομίζων, εἴτε νίκην

3. Διὰ τὰς παρούσας, ὅμως περιστάσεις, πρέπει νὰ γείνωμεν ἀνδρεῖοι, καὶ νὰ μὴ ὑποχωρήσωμεν, ἀλλὰ νὰ πασχίσωμεν, ὥστε, ἂν μὲν δυνάμεθα, νὰ σωθῶμεν μὲ ἔνδοξον νίκην· εἰδὲ μή, τοὐλάχιστον ν' ἀποθάνωμεν μ' ἔνδοξον θάνατον, καὶ ποτὲ νὰ μὴ πέσωμεν ζῶντες εἰς τὰς χεῖρας τῶν ἐχθρῶν. Διότι, τοιαῦτα κακὰ, νομίζω ὅτι ἡμεῖς θέλομεν πάθει, ὁποῖα εὔχομαι νὰ στρέψωσιν εἰς τὰς τῶν ἐχθρῶν τὰς κεφαλὰς οἱ θεοί."

4. Μετὰ τοῦτον ἐσηκώθη Κλεάνωρ ὁ Ὀρχομένιος, καὶ ὡμίλησεν οὕτω· "Βέβαια βλέπετε μὲν, ὦ ἄνδρες, καὶ τοῦ βασιλέως τὴν ἐπιορκίαν καὶ ἀσέβειαν· βλέπετε δὲ καὶ τοῦ Τισσαφέρνους τὴν ἀπιστίαν, ὅστις λέγων, ὅτι εἶναι γείτων τῆς Ἑλλάδος, καὶ ὅτι πολλὰ ἐπιθυμεῖ νὰ μᾶς σώσῃ, καὶ διὰ ταῦτα αὐτὸς ὀμόσας εἰς ἡμᾶς, αὐτὸς δώσας τὴν δεξιάν του, ἔπειτα αὐτὸς ὁ ἴδιος ἀπατήσας συνέλαβε τοὺς στρατηγοὺς, καὶ οὐδὲ τὸν Δία τὸν Ξένιον εὐλαβήθη, ἀλλ' ἀφοῦ προσεκάλεσεν εἰς τὴν τράπεζάν του τὸν Κλέαρχον, μὲ αὐτοὺς τοὺς ἰδίους τρόπους, μὲ τοὺς ὁποίους ἐβεβαίωσε τὴν ἐμπιστοσύνην, ἀπατήσας τοὺς ἄνδρας ἐφόνευσεν.

5. Ὁ δὲ Ἀριαῖος, τὸν ὁποῖον ἡμεῖς ἠθέλομεν νὰ καταστήσωμεν βασιλέα, καὶ τόσας ἐμπιστοσύνης ἀποδείξεις ἐκάμομεν μεταξύ μας νὰ μὴ προδώσωμεν ἀλλήλους, καὶ οὗτος, οὔτε τοὺς θεοὺς φοβηθεὶς, οὔτε τὸν ἀποθανόντα Κῦρον σεβασθεὶς, ἐνῷ ἀπ' αὐτὸν, ὅτε ἔζῃ, ἔλαβε τόσας τιμὰς, τώρα ἀποσυρθεὶς ἡνώθη μὲ τοὺς μεγαλητέρους τοῦ Κύρου ἐχθροὺς, καὶ ἡμᾶς τοὺς φίλους τοῦ Κύρου πασχίζει νὰ κακοποιήσῃ.

6. Ἀλλ' εἴθε οἱ θεοὶ νὰ κάμωσιν εἰς αὐτοὺς τὴν ἐκδίκησιν! Ἡμεῖς ὅμως, αὐτὰ βλέποντες, πρέπει νὰ μὴ ἀπατηθῶμεν ποτὲ εἰς τὸ ἑξῆς ἀπὸ τούτους, ἀλλὰ μαχόμενοι μὲ ὅλην μας τὴν ἀνδρίαν, ἂς πάθωμεν, ὅ, τι θελήσωσιν οἱ θεοί."

7. Μετὰ τοῦτον σηκόνεται ὁ Ξενοφῶν, ὡπλισμένος διὰ πόλεμον ὅσον ἐδύνατο κάλλιστα, νομίζων, ὅτι, ἂν δώσωσι νίκην

καὶ τοὺς μεγάλους ταχὺ μικροὺς ποιεῖν καὶ τοὺς μικροὺς κἂν ἐν δεινοῖς ὦσι σώζειν εὐπετῶς, ὅταν βούλωνται.

11. Ἔπειτα δέ—ἀναμνήσω γὰρ ὑμᾶς καὶ τοὺς τῶν προγόνων τῶν ἡμετέρων κινδύνους, ἵνα εἰδῆτε ὡς ἀγαθοῖς τε ὑμῖν προσήκει εἶναι, σώζονταί τε σὺν τοῖς θεοῖς καὶ ἐκ πάνυ δεινῶν οἱ ἀγαθοί· ἐλθόντων μὲν γὰρ Περσῶν καὶ τῶν σὺν αὐτοῖς παμπληθεῖ στόλῳ ὡς ἀφανιούντων αὖθις τὰς Ἀθήνας, ὑποστῆναι αὐτοῖς Ἀθηναῖοι τολμήσαντες ἐνίκησαν αὐτούς.

12. Καὶ εὐξάμενοι τῇ Ἀρτέμιδι, ὁπόσους ἂν κατακάνοιεν τῶν πολεμίων, τοσαύτας χιμαίρας καταθύσειν τῇ θεῷ, ἐπεὶ οὐκ εἶχον ἱκανὰς εὑρεῖν, ἔδοξεν αὐτοῖς κατ' ἐνιαυτὸν πεντακοσίας θύειν· καὶ ἔτι καὶ νῦν ἀποθύουσιν.

13. Ἔπειτα ὅτε Ξέρξης ὕστερον ἀγείρας τὴν ἀναρίθμητον στρατιὰν ἦλθεν ἐπὶ τὴν Ἑλλάδα, καὶ τότε ἐνίκων οἱ ἡμέτεροι πρόγονοι τοὺς τούτων προγόνους καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. Ὧν ἔστι μὲν τεκμήρια ὁρᾶν τὰ τρόπαια, μέγιστον δὲ μαρτύριον ἡ ἐλευθερία τῶν πόλεων ἐν αἷς ὑμεῖς ἐγένεσθε καὶ ἐτράφητε· οὐδένα γὰρ ἄνθρωπον δεσπότην ἀλλὰ τοὺς θεοὺς προσκυνεῖτε. Τοιούτων μέν ἐστε προγόνων.

14. Οὐ μὲν δὴ τοῦτό γε ἐρῶ, ὡς ὑμεῖς καταισχύνετε αὐτούς· ἀλλ' οὔπω πολλαὶ ἡμέραι ἀφ' οὗ ἀντιταξάμενοι τούτοις τοῖς ἐκείνων ἐκγόνοις πολλαπλασίους ὑμῶν αὐτῶν ἐνικᾶτε σὺν τοῖς θεοῖς.

15. Καὶ τότε μὲν δὴ περὶ τῆς Κύρου βασιλείας ἄνδρες ἦτε ἀγαθοί· νῦν δ', ὁπότε περὶ τῆς ὑμετέρας σωτηρίας ὁ ἀγών ἐστι, πολὺ δήπου ὑμᾶς προσήκει καὶ ἀμείνονας καὶ προθυμοτέρους εἶναι.

σταίνωσι καὶ τοὺς μεγάλους ταχέως μικροὺς, καὶ τοὺς μικροὺς, ἐὰν καὶ εἰς κινδύνους εὑρίσκωνται, εὐκόλως νὰ σώζωσιν, ὅταν θέλωσιν.

11. Ἔπειτα δὲ, θέλω σᾶς ἐνθυμήσει καὶ τῶν προγόνων μας τοὺς κινδύνους, διὰ νὰ ἐννοήσετε, ὅτι πρέπει καὶ σεῖς νὰ φανῆτε ἀνδρεῖοι, καὶ ὅτι οἱ ἀνδρεῖοι καὶ ἀπὸ τοὺς μεγαλωτάτους κινδύνους σώζονται, μὲ τὴν βοήθειαν τῶν θεῶν· διότι, ὅτε ἦλθον οἱ Πέρσαι καὶ οἱ σύμμαχοί των μὲ παμπληθὲς στράτευμα, διὰ ν' ἀφανίσωσι τὰς Ἀθήνας, τολμήσαντες οἱ Ἀθηναῖοι νὰ τοὺς ἀντισταθῶσι, τοὺς ἐνίκησαν.

12. Καὶ τάξαντες εἰς τὴν Ἄρτεμιν, ὅσους ἤθελον φονεύσει ἀπὸ τοὺς ἐχθροὺς, τόσας αἶγας νὰ θυσιάσωσιν εἰς τὴν θεὰν, ἐπειδὴ δὲν ἐδύναντο νὰ εὕρωσιν ἀρκετὰς, ἔκριναν εὔλογον, πεντακοσίας νὰ θυσιάζωσι κατ' ἔτος· τοῦτο ἀκόμη καὶ ἕως τώρα κάμνουσι.

13. Ἔπειτα, ὅτε ὁ Ξέρξης ὕστερον συναθροίσας τὸ ἀναρίθμητον στράτευμα ἦλθε κατὰ τῆς Ἑλλάδος, τότε ἐνίκησαν οἱ πρόγονοί μας τοὺς προγόνους τούτων καὶ εἰς τὴν ξηρὰν καὶ εἰς τὴν θάλασσαν. Τούτων τῶν ἀνδραγαθημάτων σημεῖα μὲν εἶναι τὰ τρόπαια, τὰ ὁποῖα καθεὶς βλέπει, μεγαλητέρα δὲ μαρτυρία ἡ ἐλευθερία τῶν πόλεων, εἰς τὰς ὁποίας σεῖς ἐγεννήθητε καὶ ἀνετράφητε· διότι κανένα ἄνθρωπον δὲν ἔχετε δεσπότην, ἀλλὰ τοὺς θεοὺς μόνον προσκυνεῖτε. Τοιούτων προγόνων εἶσθε ἀπόγονοι.

14. Καὶ δὲν εἰμπορῶ νὰ εἴπω, ὅτι σεῖς τοὺς καταισχύνετε· διότι ἀκόμη πολλαὶ ἡμέραι δὲν εἶναι, ἀφοῦ ἀντεστάθητε εἰς τούτους τοὺς Πέρσας τοὺς ἀπογόνους ἐκείνων, καὶ μ' ὅλον ὅτι αὐτοὶ ἦσαν πολλαπλάσιοι ἀπὸ ἐσᾶς, τοὺς ἐνικήσατε μὲ τὴν βοήθειαν τῶν θεῶν.

15. Καὶ τότε μὲν ἀνεδείχθητε ἄνδρες γενναῖοι περὶ τῆς βασιλείας τοῦ Κύρου· τώρα δὲ, ὁπότε ὁ ἀγὼν εἶναι περὶ τῆς ἰδικῆς σας σωτηρίας, πολὺ βέβαια πρέπει νὰ ἦσθε καὶ ἀνδρειότεροι καὶ προθυμότεροι.

39. Ἐπειδὰν δὲ καταστήσησθε τοὺς ἄρχοντας ὅσους δεῖ, ἢν καὶ τοὺς ἄλλους στρατιώτας συλλέγητε καὶ παραθαρσύνητε, οἶμαι ἂν ὑμᾶς πάνυ ἐν καιρῷ ποιῆσαι.

40. Νῦν [μὲν] γὰρ ἴσως καὶ ὑμεῖς αἰσθάνεσθε ὡς ἀθύμως μὲν ἦλθον ἐπὶ τὰ ὅπλα, ἀθύμως δὲ πρὸς τὰς φυλακάς· ὥστε, οὕτω γ' ἐχόντων, οὐκ οἶδα ὅ τι ἄν τις χρήσαιτο αὐτοῖς, εἴτε νυκτὸς δέοι τι εἴτε καὶ ἡμέρας·

41. Ἢν δέ τις αὐτῶν τρέψῃ τὰς γνώμας, ὡς μὴ τοῦτο μόνον ἐννοῶνται, τί πείσονται, ἀλλὰ καὶ τί ποιήσουσι, πολὺ εὐθυμότεροι ἔσονται.

42. Ἐπίστασθε γὰρ δήπου ὅτι οὔτε πλῆθός ἐστιν οὔτε ἰσχὺς ἡ ἐν τῷ πολέμῳ τὰς νίκας ποιοῦσα· ἀλλ' ὁπότεροι ἂν σὺν τοῖς θεοῖς ταῖς ψυχαῖς ἐῤῥωμενέστεροι ἴωσιν ἐπὶ τοὺς πολεμίους, τούτους ὡς ἐπὶ τὸ πολὺ οἱ ἐναντίοι οὐ δέχονται.

43. Ἐντεθύμημαι δ' ἔγωγε, ὦ ἄνδρες, καὶ τοῦτο, ὅτι, ὁπόσοι μὲν μαστεύουσι ζῆν ἐκ παντὸς τρόπου ἐν τοῖς πολεμικοῖς, οὗτοι μὲν κακῶς τε καὶ αἰσχρῶς ὡς ἐπὶ τὸ πολὺ ἀποθνήσκουσιν· ὁπόσοι δὲ τὸν μὲν θάνατον ἐγνώκασι πᾶσι κοινὸν εἶναι καὶ ἀναγκαῖον ἀνθρώποις, περὶ δὲ τοῦ καλῶς ἀποθνήσκειν ἀγωνίζονται, τούτους ὁρῶ μᾶλλόν πως εἰς τὸ γῆρας ἀφικνουμένους, καὶ, ἕως ἂν ζῶσιν, εὐδαιμονέστερον διάγοντας.

44. Ἃ καὶ ἡμᾶς δεῖ νῦν καταμαθόντας, ἐν τοιούτῳ γὰρ καιρῷ ἐσμέν, αὐτούς τε ἄνδρας ἀγαθοὺς εἶναι καὶ τοὺς ἄλλους παρακαλεῖν. Ὁ μὲν ταῦτα εἰπὼν ἐπαύσατο.

45. Μετὰ δὲ τοῦτον εἶπε Χειρίσοφος· Ἀλλὰ πρόσθεν μέν, ὦ Ξενοφῶν, τοσοῦτον μόνον σε ἐγίνωσκον ὅσον

39. Ὅταν δὲ καταστήσετε τοὺς ἀρχηγοὺς, ὅσοι χρειάζονται, ἂν καὶ τοὺς ἄλλους ἔπειτα στρατιώτας συνάξετε καὶ τοὺς ἐγκαρδιώσετε, νομίζω, ὅτι εἰς πολλὰ ἁρμόδιον καιρὸν θέλετε τὸ κάμει.

40. Διότι τώρα ἴσως καὶ σεῖς αἰσθάνεσθε, ὅτι χωρὶς καρδίαν ἦλθον διὰ νὰ λάβωσι τὰ ὅπλα των, καὶ χωρὶς καρδίαν διὰ νὰ φυλάξωσι φυλακὰς, ὥστε, εἰς τοιαύτην κατάστασιν ὅταν εὑρίσκωνται, δὲν ἠξεύρω, εἰς τὶ δύναταί τις νὰ τοὺς μεταχειρισθῇ, ἂν χρειασθῇ τι ἢ τὴν νύκτα ἢ τὴν ἡμέραν.

41. Ἐὰν ὅμως τις στρέψῃ πρὸς ἄλλο μέρος τοὺς διαλογισμοὺς αὐτῶν, ὥστε νὰ μὴ συλλογίζωνται τοῦτο μόνον, ἤγουν, τὶ κακὸν θέλουν πάθει, ἀλλὰ καὶ τὶ δύνανται νὰ κάμωσι, πολὺ περισσότερον θέλουν ἐγκαρδιωθῆ.

42. Διότι ἠξεύρετε βέβαια, ὅτι οὔτε τὸ πλῆθος, οὔτε ἡ δύναμις προξενεῖ τὴν νίκην εἰς τὸν πόλεμον, ἀλλ' ὅσοι ἐπικαλούμενοι τὴν βοήθειαν τῶν θεῶν, μὲ πλειοτέραν γενναιοψυχίαν ὑπάγουν ἐναντίον τῶν ἐχθρῶν, εἰς τούτους ὡς ἐπὶ τὸ πλεῖστον δὲν ἀντιστέκονται οἱ ἐχθροί.

